*ἤιεν· ἣ δὲ πόρεν περικαλλέι Τηλεφαάσσῃ,*
*ἥτε οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ*
*μήτηρ Τηλεφάασσα περικλυτὸν ὤπασε δῶρον.*
*ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα·*
*ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰώ*
*εἰσέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναίην.*
*φοιταλέη δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα*
*νηχομένῃ ἰκέλη, κυάνου δ' ἐτέτυκτο θάλασσα·*
*δοιοῦ δ' ἕστασαν ὑψοῦ ἐπ' ὀφρύσιν αἰγιαλοῖο*
*φῶτες ἀολλήδην θηεῦντο δὲ ποντοπόρον βοῦν.*
*ἐν δ' ἦν Ζεὺς Κρονίδης ἐπαφώμενος ἠρέμα χερσί*
*πόρτιος Ἰναχίης τήν θ' ἑπταπόρῳ παρὰ Νείλῳ*
*ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.*
*ἀργύρεος μὲν ἔην Νείλου ῥόος, ἡ δ' ἄρα πόρτις*
*χαλκείη, χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.*
*ἀμφὶ δὲ δινήεντος ὑπὸ στεφάνην ταλάροιο*
*Ἑρμείης ἤσκητο, πέλας δέ οἱ ἐκτετάνυστο*
*Ἄργος ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι.*
*τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν*
*ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέι χροιῇ,*
*τὰς ὅ γ' ἀναπλώσας ὡσεί τέ τις ὠκύαλος νηῦς*
*χρυσείου ταλάροιο περίσκεπε χείλεα ταρσοῖς.*
*τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.*
*Αἳ δ' ἐπεὶ οὖν λειμῶνας ἐς ἀνθεμόεντας ἵκανον,*
*ἄλλη ἐπ' ἀλλοίοισι τότ' ἄνθεσι θυμὸν ἔτερπον.*
*τῶν ἣ μὲν νάρκισσον ἐύπνοον, ἣ δ' ὑάκινθον,*
*ἣ δ' ἴον, ἣ δ' ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ' ἔραζε*